# ΑΙΣΩΠΟΥ

## ΤΟΥ

# ΜΥΘΟΠΟΙΟΥ

# ΒΙΟΣ

Μαξίμῳ τῷ Πλανούδῃ συγγραφείς.

Πραγμάτων φύσιν τῶν ἐν ἀνθρώποις ἠκρίβωσαν μὲν καὶ ἄλλοι, καὶ τοῖς μετ᾽ αὐτοὺς παρέδωκαν φέροντες· Αἴσωπος δὲ δοκεῖ μὴ πόῤῥω θειοτέρας ἐπιπνοίας τῆς ἠθικῆς διδασκαλίας ἁψάμενος, πολλῷ τῷ μέτρῳ τοὺς πολλοὺς αὐτῶν παρελάσαι. Καὶ γὰρ οὔτ᾽ ἀποφαινόμενος, οὔτε συλλογιζόμενος, οὔτε μὴν ἐξ Ἱστορίας, ἣν ὁ πρὸ τῆς κατ᾽ αὐτὸν ἡλικίας ἤνεγκε χρόνος, τὴν νουθεσίαν διατιθέμενος, ἀλλὰ Μύθοις τὰ πάντα παιδοτριβῶν, οὕτω τὰς τῶν ἀκροωμένων ἀγρεύει ψυχὰς, ὡς αἰσχύνεσθαι τοὺς λογικοὺς ποιεῖν, ἢ φρονεῖν, ἃ μήτ᾽ ὄρνιθες, μήτ᾽ ἀλώπεκες· καὶ αὖ πάλιν μὴ προσέχειν ἐκείνοις, οἷς πολλὰ τῶν ἀλόγων ἐν καιρῷ νουνεχῶς προσεσχηκότα μυθεύεται, ἐξ ὧν ἃ μὲν κινδύνους ἐπηρτημένους αὐτοῖς διέδρα, ἃ δὲ μεγίστης ἐν τοῖς καιρίοις τῆς ὠφελείας ἔτυχεν.

Οὗτος τοίνυν ὁ τὸν καθ᾽ αὐτὸν βίον φιλοσόφου πολιτείας εἰκόνα προθέμενος, καὶ ἔργοις μᾶλλον, ἢ λόγοις φιλοσοφήσας, τὸ μὲν γένος ἐξ Ἀμορίου



ΠΑΙΔΕΥΤΙΚΟΣ ΣΥΛΛΟΓΟΣ ΑΔΡΙΑΝΟΥΠΟΛΕΩΣ